## Περὶ φθίσεως ἕτερ' ἄττα.

Διὰ βραχέων μὲν ὁ Φιλόσοφος, ἀκριβῶς δὲ τὸν τῆς φθίσεως παραδέδωκε τρόπον παραδείγματι χρώμενος οἴνου ὕδατι μιγνυμένου καὶ γινομένου ὑδαροῦς, τοῦτο δὲ ὁ Φιλόπονος ἐρεῖν φησι τὸν Φιλόσοφον οὐκ εἰς τὸ μέγεθος, ἀλλ' εἰς τὴν τοῦ τρεφομένου δύναμιν ἀποβλέψαντα. ὥς τε δὴ τῆς δυνάμεως ἀσθενούσης, καὶ τὸ μέγεθος λείπεται ἐπὶ τὸ ἀτελές, ὥσπερ οὖν ὕδατος μιχθέντος, ὁ οἶνος κατὰ μικρὸν ἀφίσταται τοῦ ζωροτέρου, καὶ ὑδαροῦται, οὕτως ἡ θρεπτικὴ δύναμις ἀεὶ χείρονος προσακείσης ὕλης τῷ ἐμφύτῳ θερμῷ ἀνεπικρατὴς γίνεται. καὶ χρόνου προϊόντος πλείω μὴ δυναμένη τῆς ἀπορρεούσης ὕλην προσκρίναι φθίσιν ἀπεργάζεται. διά τοι τοῦτο συμβαίνει πολλάκις μὴ πεπτομένων τῶν ἐδεσμάτων τῇ τούτων σηπεδόνι ἐξογκοῦσθαι τὸ σῶμα, καίτοι φθῖνον. οὐ γὰρ ἡ εἰς ὁποιονδηποτοῦν μέγεθος κίνησις αὔξησις ἐστὶν, ἀλλ' εἰς τὸ τέλειον. ἔτι δὲ ἐπιστάσεως ἄξιον ὅτι ἡ αὔξησις ἐπὶ μῆκος ἐστὶ μᾶλλον, ἡ δὲ φθίσις κατὰ τὸ πλάτος, αἴτιον δὲ τὸ μὴ τὰ στερεὰ φθίνειν μέρη, ὁμοίως δὲ τοὺς φθίνοντας ὡς ἐπὶ τὸ πολὺ κεκυφέναι. ἢ ὅτι τὰ νεῦρα συστέλλεται, ἢ ὅτι ἀσθενοῦσα ἡ δύναμις οἷον καταπίπτει, καὶ οὐχ οἵα τέ ἐστιν ὀρθὸν τηρῆσαι τὸ σῶμα. κἀκεῖνο δὲ σημειωτέον ὅτι τῶν γεγηρακότων περιρραίνεται μόνον τὰ μέρη μὴ μεταβάλλοντα εἰς ἑαυτὰ τὴν τροφήν. νῦν δὲ πρὸς τοὺς ἐξ ἀρχῆς ἀντιφερομένους ἀπαντήσωμεν λόγους, ἐλέγετο δὲ πρῶτον μὴ εἶναι φθίσιν ὅτι ἰσχυρὰ μὲν οὖσα ἡ δύναμις ἴσα τοῖς ἀπορρέουσι προσκρίνει, ἀσθενὴς δὲ ἴσως τῶν ἐνόντων οὐδ' ὁτιοῦν ἐξικμάζει μέρος. τινὲς μὲν οὖν φασὶν ὅτι πρῶτον μὲν ἡ θερμότης ἐξατμίζει τὴν ὑγρότητα, εἶτα κάμνουσα οὐχ οἵα τέ ἐστι μεταβάλλειν τὴν τροφήν, ἀλλ' οὐχ οὕτως ἔχει. ἅμα γὰρ ἡ θερμότης τήν τε μεταβολὴν ἐργάζεται τῆς τροφῆς, καὶ τὴν τῆς ὑγρότητος ἐξάτμισιν. εἴπωμεν οὖν, ὅτι ἐπειδὴ πρῶτον τὸ ὑγρὸν ἐξατμίζεται, ἢ μεταβάλλοι αὖ ἡ τροφή, οὐκ ἀδύνατον ἀσθενοῦσαν τὴν δύναμιν, μεταβάλλειν μὲν μὴ δύνασθαι, ἐξατμίσαι δὲ καὶ πάνυ, ἢ ὅτι τῶν γεγηρακότων ἡ θερμότης ἐν ξηρῷ οὖσα συνάγειν μὲν οὐχ οἵα τέ ἐστιν, ἀλλοιοῦν δὲ μάλιστα καὶ φθείρειν καυστικὴ γινομένη, ἢ ὅτι ἡ μὲν ἐξάτμισις ὑπὸ τοῦ περιέχοντος γίγνεται, ἡ δὲ μεταβολὴ ἔσωθεν. διὸ οὐ τρέφεται, ἀλλ' ἀπακμάζει τὰ σώματα, πῶς δὲ καὶ τίνα ἐστὶν αἴτια τῆς φθίσεως εἴρηται. ἔτι δὲ φανερὸν ἐκ τῶν εἰρημένων ἀνωτέρω, πῶς τὸ αὐξόμενον καὶ φθῖνον τὸ αὐτό ἐστι κατὰ τὸν ἀριθμόν, μένει γὰρ τό, τε ὑποκείμενον τὸ αὐτὸ, καὶ σώζει τὸ αὐτὸ ὄνομα. μᾶλλον δὲ ταυτόν ἐστι κατὰ μίαν ἑκάστην φθίσιν. ὃ δὲ ἐλέγετο ὅτι τὸ ὑποκείμενον οὐδέ ποτε

μεῖζον

ΙΩΑΝΝΙΝΑ 2006

μεῖζον ἐστὶ ψευδὲς, καὶ γὰρ μετὰ τοῦ ἀποῤῥεύσαντος μέρους μεῖζον ἦν. Τελευταῖον ἀντιλογίαν τινὰ φαινομένην ἐν τῷ Φιλοσόφῳ, εἰκός ἐστιν ἐπιλῦσαι, δευτέρῳ γὰρ περὶ γενέσεως καὶ φθορᾶς, μορίῳ νζ΄. ἴσῳ χρόνῳ φησὶ γίνεσθαι τὴν φθορὰν καὶ τὴν γένεσιν τὴν κατὰ φύσιν, φθορὰν μὲν ὡς εἴρηται τὴν φθίσιν, γένεσιν δὲ τὴν αὔξησιν λέγων, μορίῳ δὲ λη΄. τοῦ δευτέρου περὶ οὐρανοῦ, ἡ δ' ἀδυναμία φησὶ παρὰ φύσιν, οὐ δὲ τὸν ἴσον χρόνον παρὰ φύσιν καὶ κατὰ φύσιν. οὐδ' ὅλως δυνατὸν καὶ ἀδύνατον. εἰ τοίνυν ἡ μὲν φθίσις ἐξ ἀδυναμίας, ἡ δὲ αὔξησις ἐκ δυνάμεως, καὶ ἡ μὲν δύναμις κατὰ φύσιν, παρὰ φύσιν δὲ ἡ ἀδυναμία. ἀδύνατον δὲ τὸν ἴσον χρόνον τὸ παρὰ φύσιν γίνεσθαι τῷ κατὰ φύσιν ὡς λέγεται περὶ οὐρανοῦ, ἀδύνατον ἄρα τὴν αὔξησιν καὶ φθίσιν χρόνον γίνεσθαι τὸν ἴσον ὡς εἴρηται ἐν τῷ περὶ γενέσεως καὶ φθορᾶς, ἢ ὅτι ὁ Φιλόσοφος τὴν ἀπὸ τοῦ Ἡλίου γένεσιν καὶ φθορὰν κατ' ἴσον χρόνον φησὶ γίγνεσθαι, ὅτι καὶ ἡ τοῦ Ἡλίου ἔφοδός τε καὶ πρόσοδος ἐν ἴσῳ χρόνῳ. ἢ ὅτι ἀδυναμίαν τὴν παρὰ φύσιν εἴρηκεν ὁ Φιλόσοφος, ἐξ ἧς δὲ ἡ φθίσις κατὰ φύσιν ἐστίν. ὅθεν ἐν μὲν τῷ περὶ οὐρανοῦ τὸ παρὰ φύσιν εἴρηκεν ἀδύνατον ἐξισοῦσθαι χρόνῳ τῷ κατὰ φύσιν. ἐν δὲ τοῖς περὶ γενέσεως καὶ φθορᾶς, γένεσιν καὶ φθορὰν ἴσην κατὰ χρόνον φησὶ τὴν κατὰ φύσιν. ταῦτά τοι περὶ φθίσεως ἅλις.

## ΚΕΦΑ΄ΛΑΙΟΝ Ε΄ΚΤΟΝ.

### Περὶ ἁφῆς τῆς ἐν τοῖς Φυσικοῖς.

ἘΠειδὴ περὶ γενέσεως ἔφθημεν εἰπόντες, καὶ ταύτην ἀλλοιώσεώς τε καὶ αὐξήσεως καὶ τῆς κατὰ τόπον μεταβολῆς διεκρίναμεν, τούτων ἑκάστην ἐκθέντες τί τε ἐστὶ, καὶ πῶς γίγνεται, ἀκόλουθόν ἐστι περὶ τῆς ὕλης διαλαβεῖν τῶν κατὰ μέρος γιγνομένων. ἔστι δὲ αὕτη τὰ καλούμενα στοιχεῖα, οὐδὲ γὰρ ταῦτα ἁπλῶς στοιχεῖα, ἅτε δὴ σύνθετα, ἀλλὰ μᾶλλον φαίνεται πρῶτα καὶ καλεῖται, περὶ ὧν δεῖ πρῶτον εἰπεῖν, καὶ τρία ταῦτα ζητῆσαι, πρῶτον εἴτε ἐστὶν, εἴτε μή. δεύτερον πότερον ἀΐδιον τούτων ἕκαστον, ἢ γίγνεταί πως; καὶ τρίτον ἢ γίγνεται πότερον ἐξ ἀλλήλων γίγνεται πάντα τὸν αὐτὸν τρόπον, ὥστε ἀμοιβαδὸν εἰς ἄλληλα μεταβάλλειν ἀδιαφόρως, ἤ τι πρῶτον ἓν ἐστὶν ἐξ οὗ τὰ ἄλλα γίγνεται, οἷον τὸ πῦρ καθ' Ἡράκλειτον, ἢ τὸ ὕδωρ κατὰ Θαλῆν. ἐπειδὴ δὲ ἀμήχανον ἐστὶ τὸν περὶ τῶν στοιχείων λόγον ἀμαυρῶς διαρθρῶσαι μὴ φανε-

ρῶν

ΙΩΑΝΝΙΝΑ 2006

ρῶν γιγνομένων τί τε ἐστὶν ἁφὴ, καὶ τί τὸ ποιεῖν, καὶ πάσχειν, καὶ τί ἐστι μίξις, πάντες γὰρ οἱ παλαιοὶ οἵτε τὰ στοιχεῖα γεννῶντες, οἵτε τὰ ἄλλα ἐξ αὐτῶν ἀμεταβλήτων ὄντων καὶ ἀγεννήτων διακρίσει κέχρηνται καὶ συγκρίσει, καὶ τῷ ποιεῖν, καὶ πάσχειν. ἔστι δὲ ἡ σύγκρισις μίξις ἥτις διὰ ἁφῆς γίγνεται ἀνάγκη πρῶτον περὶ ἁφῆς, καὶ τοῦ ποιεῖν καὶ πάσχειν, καὶ περὶ μίξεως εἰπεῖν οἰκειότερον. περὶ τούτων γὰρ λέγεται ἀδιακρίτως νῦν, καὶ ἀδιορίστως, πῶς γὰρ μίγνυσθαι λέγομεν κατακερματιζομένων εἰς μικρὰ τῶν στοιχείων, καὶ παρατιθεμένων ἀλλήλοις, ἢ χωρούντων ὅλων δι' ὅλων τῶν μιγνυμένων, καὶ πότερον φθείρονται ἐν τῇ μίξει τὰ μιγνύμενα, ἢ σώζονται, οὐ διώρισται σαφῶς, ἀλλαμὴν οὐδὲ ἀλλοιοῦσθαι δυνατὸν, οὐδὲ διακρίνεσθαι καὶ συγκρίνεσθαι μηδενὸς ποιοῦντος, μηδὲ πάσχοντος. τοῦ γὰρ ἀλλοιοῦντος μὴ τιθεμένου, οὐδ' ἂν εἴη τὸ ἀλλοιούμενον, αὐτὸ δὲ τὸ ἀλλοιοῦν ποιοῦν ἐστι καὶ πάσχον τὸ ἀλλοιούμενον, διὰ τοῦτο οἵ τε πλείω τὰ στοιχεῖα ποιοῦντες, γεννῶσι ταῦθ' ὑπ' ἀλλήλων τῷ ποιεῖν καὶ πάσχειν, ὡς μὴ δυναμένων ἄλλως μεταβάλλειν, εἰ μὴ διὰ ποιήσεως καὶ παθήσεως, καὶ τοῖς ἐξ ἑνὸς τὰ ἄλλα γεννῶσιν ἀνάγκη λέγειν τὴν ποίησιν, καὶ ταύτῃ κεχρῆσθαι, μάρτυς δὲ Διογένης τοῦτο ὀρθῶς λέγων. ὅτι εἰ μὴ ἦν ἐξ ἑνὸς ἅπαντα, οὐκ ἂν ἦν τὸ ποιεῖν καὶ πάσχειν ὑπ' ἀλλήλων, οἷον τὸ θερμὸν ψύχεσθαι καὶ θερμαίνεσθαι πάλιν. ἐπειδὴ γὰρ ἀδύνατόν ἐστι θερμότητα καὶ ψυχρότητα μεταβάλλειν αὐτὰ εἰς ἄλληλα, ἀνάγκη ἓν εἶναι τὸ κοινὸν ὑποκείμενον τὸ πάσχον καὶ μεταβάλλον ἐκ τοῦ ἐναντίου εἰς τὸ ἐναντίον. ἐξ ὧν φανερόν ἐστιν, ὅτι ἐν οἷς ἐστι τὸ ποιεῖν καὶ τὸ πάσχειν ἀνάγκη τούτων μίαν εἶναι τὴν ὑποκειμένην φύσιν, ὥστε καὶ τοὺς ἐξ ἑνὸς γεννῶντας πάντα φανερὸν εἶναι κεχρῆσθαι τῷ ποιεῖν καὶ πάσχειν, καίτοι τὸ τοῦ Διογένους οὐχ ἁπλῶς ἀληθῶς, ὅτι ἐξ ἑνὸς ἅπαντα ὑποκειμένου ἐν οἷς ἐστι τὸ ποιεῖν καὶ πάσχειν. ποιεῖ μὲν γὰρ τὸ κυκλοφορητικὸν σῶμα, καὶ πάσχει ὑπὸ τούτου τὰ ὑπὸ Σελήνην, οὐ μὴν ἔχει τὴν αὐτὴν τούτοις ὕλην, ἀλλ' ἐν ὅσοις μόνον τὸ ὑπ' ἀλλήλων ἐστὶ ποιεῖν, καὶ πάσχειν, τούτων ἡ ὑποκειμένη φύσις μία ἐστίν. ἐπειδὴ δὲ δεῖ πρῶτον περὶ τοῦ ποιεῖν καὶ πάσχειν, καὶ περὶ μίξεως θεωρῆσαι, ἀνάγκη καὶ περὶ ἁφῆς, οὔτε γὰρ ποιεῖν καὶ πάσχειν δύναται τὰ ποιητικὰ καὶ παθητικὰ ὅσα κυρίως ἐνεργεῖ, ἀλλαμὴ κατ' ἄλλον τινὰ τρόπον, οἷον αἱ λοιδορίαι, καὶ τὰ τοιαῦτα μὴ ἀλλήλων ἁπτόμενα. ἀλλ' οὔτε μιχθῆναι ἐνδέχεται μὴ πρῶτον ἁψάμενά πως, ὥστε περὶ τριῶν τούτων διοριστέον, τί ἁφὴ, τί μίξις, καὶ τί ποίησις. εἴπωμεν δὲ πρῶτον περὶ ἁφῆς μᾶλλον οὔσης καθόλου, τῶν ὄντων γὰρ ὅσοις ἐστὶ μίξις, εἶναι ταῦτ' ἀλλήλων ἁπτικὰ ἀνάγκη, οὐ μὴν γε μίγνυται ὅσα ἀλλήλων ἅπτεται, ὁμοίως δὲ καὶ εἴτι ποιεῖ, τὸ δὲ ἕτερον ὑπ' αὐτοῦ πάσχει κυρίως, καὶ τούτοις ἔσται ἁφὴ, ἐπει-



Ε.Υ.ΑΝΑΣΚ. τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

δὴ δὲ ἐπὶ τῶν πολλαχῶς λεγομένων, ἃ ἢ ὁμώνυμά ἐστιν ἰσοτίμως μετέχοντα τοῦ ὀνόματος, ἢ ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν, ἐν οἷς θάτερα ἀπὸ τῶν ἑτέρων καὶ τῶν προτέρων λέγεται, ἀπὸ τῆς διαιρέσεως ἄρξασθαι χρή, οὕτω καὶ περὶ ἁφῆς ποιησόμεθα. ἔστι τοιγαροῦν τὸ κυρίως ἁφὴ λεγόμενον ἐν τοῖς ἔχουσι θέσιν, ἡ δὲ θέσις οἷσπερ καὶ τόπος, θέσιν γὰρ ἔχειν φαμὲν τὸ ἐν τόπῳ ὄν. διατί δὲ τοῖς Μαθηματικοῖς τόπον μὲν καὶ θέσιν ἀποδιδόασιν, οὐ μὴν ἁφὴν, ἀπορήσειέ τις, ἐπειδὴ οἷς ἐστι τόπος καὶ θέσις ἁφὴν ὑπάρχειν ἀνάγκη. ἢ ὅτι τὰ Μαθηματικὰ ὁμοίως ἁφὴν ἔχει καὶ τόπον καὶ ἀνάλογον ὥσπερ ἁφὴν καὶ τόπον. εἴτε κεχωρισμένον ἕκαστον αὐτῶν ἐστιν ὡς ἐτίθετο Πυθαγόρας πράγματι, εἴτε καὶ λόγον μόνον, ὁ γὰρ τόπος τοῖς Μαθηματικοῖς κατὰ τὰς διαστάσεις προσήκει, ἀλλ' οὐ κατὰ βαρύτητα, ἢ κουφότητα ἢ πάθος τί Φυσικὸν, ὥστε καὶ ἁφὴ τούτοις ἔσται ἢ σώμασιν, ἀλλ' οὐχ ἢ ποιητικοῖς καὶ παθητικοῖς, ἐπειδὴ δὲ ὥσπερ ἐν τοῖς Φυσικοῖς διωρίσθη πρότερον τὸ ἅπτεσθαι τὸ τὰ ἔσχατα ἅμα ἔχειν ἐστὶ, ταῦτα ἂν ἀλλήλων ἅπτεσθαι λέγεται ὅσα πρῶτον μὲν μεγέθη ἐστὶ διωρισμένα, καὶ μὴ συνεχῆ, καὶ θέσιν ἔχει, καὶ ἅμα τὰ ἔσχατα. τοῖς δὲ ἁπτομένοις οὔπω πρόσεστι τὸ ποιεῖν καὶ πάσχειν, ὥστε τῇ κυρίως ἁφῇ παρέπεσθαι τὴν ποίησιν. οἷς γάρ ἐστι θέσις καὶ τόπος ὑπάρχει. διαφορὰ δὲ πρώτη τόπου τὸ ἄνω καὶ κάτω, καὶ τὰ τοιαῦτα τῶν ἀντικειμένων, αἱ γὰρ ἄλλαι ἀντιθέσεις οἷον τὸ ἔμπροσθεν καὶ ὄπισθεν, τὸ δεξιὸν καὶ ἀριστερὸν οὐκ ἀντίκεινται κυρίως κατὰ τόπον, ἀλλ' ἐν τῇ πρὸς ἡμᾶς σχέσει ἔχουσι τὸ εἶναι. αἱ δὲ καὶ τὸ κάτω καὶ τὸ ἄνω ἀντιθέσεις διαφοραί εἰσι τόπου κυρίως. τὸ γὰρ εὐθυποροῦν ἢ ἀπὸ τοῦ μέσου ἐπὶ τὸ πέριξ, ἢ ἀπὸ τοῦ πέριξ ἐπὶ τὸ μέσον, ὡς ἀλλαχοῦ διώρισται, τούτοις δὲ ὥρισται τὸ ἄνω καὶ τὸ κάτω. τὸ δὲ ἄνω ἢ κάτω τετάχθαι διὰ τὸ ἐν τούτοις βάρος ἢ κουφότητα, ἢ ἁπλῶς ἢ κατά τι, ὥστε ἐπειδὴ ἐστιν ἁφὴ ἔστιν οἷς ἐστι τόπος καὶ θέσις, οἷς δέ ἐστι ταῦτα καὶ βάρος καὶ κουφότης ἐξ ἀνάγκης ἅπαντα τὰ ἀλλήλων ἁπτόμενα βάρος ἂν ἔχοι, ἢ κουφότητα ἢ ἄμφω ὡς τὰ μεταξὺ κείμενα στοιχεῖα, βαρέα μὲν πρὸς τὰ ἄνω, πρὸς δὲ τὸ κάτω κοῦφα λεγόμενα, ἢ θάτερον ὡς τὰ βαρέα ἁπλῶς ὄντα, ἢ κοῦφα, ἐπεὶ δὲ πάλιν ὅσα βάρος ἔχει καὶ κουφότητα παθητικά ἐστι, καὶ ποιητικὰ, φανερὸν ὅτι ταῦτα ἅπτεσθαι πέφυκεν ἀλλήλων, ἃ μεγέθη μὲν ἐστι διῃρημένα, ἔχει δὲ καὶ τὰ ἔσχατα ἅμα καὶ κινητικὰ, καὶ κινητὰ ὑπ' ἀλλήλων ἐστὶν, ὥστε δεύτερον τοῦτον τὸν τρόπον εἶναι τῶν ἁπτομένων ταῖς ἀνωτέρω διαφοραῖς προστεθέντος τοῦ κινητικὰ καὶ κινητὰ εἶναι ὑπ' ἀλλήλων τὰ ἁπτόμενα. ἔστι δὲ καὶ τρίτος τρόπος τῶν ἁπτομένων ὃν εὑρήσομεν διαιρέσει χρώμενοι. ἔστι γὰρ τὸ κινοῦν διττὸν τὸ μὲν κινούμενον, τὸ δὲ ἀκίνητον ὄν, ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ποιοῦντος ἐροῦμεν, καὶ γὰρ

τὸ κινοῦν ποιεῖν τί φασι, καὶ τὸ ποιοῦν κινεῖν, οὐ μὴν ἀλλὰ διαφορά ἐστι μεταξὺ τοῦ ποιοῦντος καὶ κινοῦντος, καὶ δεῖ διορίζειν. τὸ γὰρ κινοῦν οἷον καθόλου ἐστὶν, ὥστε μὴ λέγεσθαι πᾶν τὸ κινοῦν ποιεῖν, τὸ γὰρ ποιοῦν κατὰ μόνας λέγεται τὰς παθητικὰς ποιότητας, ὅθεν καὶ τῷ ποιοῦν ἀντιτίθεται τῷ πάσχοντι. τοῦτο δέ ἐστιν ὃ κατὰ πάθος μόνον κινεῖται, πάθος δὲ καθ' ὅσον ἀλλοιοῦται μόνον, οἷον τὸ λευκὸν καὶ τὸ θερμόν. τοιγάρτοι τὸ κινεῖν ἐπὶ πλέον τοῦ ποιεῖν ἐστὶν, ὅθεν κατὰ τρίτον τρόπον ἅπτεται ὅσα διῃρημένα τέ ἐστι μεγέθη, καὶ θέσιν ἔχοντα, καὶ ἅμα ἔχει τὰ ἔσχατα καὶ κινητὰ καὶ κινητικά ἐστι ὑπ' ἀλλήλων, ὡς ποιοῦντα καὶ πάσχοντα. κἀκεῖνο δὲ ἐντεῦθεν φανερὸν, ὅτι τῶν κινούντων ἔνια μὲν ἅπτεται τῶν κινουμένων, ἔνια δὲ οὔ. ἐφ' ὧν γὰρ τὰ κινοῦντα ἀντικινεῖται κυρίως ἅπτεται, μὴ κυρίως δὲ ὅσα μὴ ἀντιπάσχει ὑπὸ τῶν κινουμένων, οὐ γάρ ἐστιν ἐπὶ τούτων κυρίως ἁφή. τρία μὲν οὖν ἐστι τὰ σημαινόμενα τοῦ ἅπτεσθαι, καὶ τριττὸς ὁ διορισμός. καθόλου μὲν ὁ τῶν θέσιν ἐχόντων, ὃς καὶ τοῖς Μαθηματικοῖς ἀποδίδοται, ἰδιαίτερον δὲ ὁ τοῦ κινητικοῦ καὶ κινητοῦ, ἰδιαίτατον δὲ ὁ τῶν ἀμοιβαδὸν κινούντων καὶ κινουμένων, ἐν οἷς ὑπάρχει τὸ ποιεῖν καὶ πάσχειν, ἔχει δὲ ἀεὶ τὰ ἁπτόμενα οὕτω. Πρῶτον γὰρ ὡς ἐπὶ τὸ πολὺ τὰ ἁπτόμενα ἁπτομένοις ἅπτεται, καὶ γὰρ τὰ ἐμποδὼν καὶ ἐν θλίψεσι ὅσοις ἀνάγκη, καὶ φαίνεται τὸ ἁπτόμενον ἅπτεσθαι ἁπτομένου κινεῖ κινούμενα πάντα σχεδόν. Δεύτερον ἐνίοτε φαμὲν τὸ κινοῦν ἅπτεσθαι μὲν τοῦ κινουμένου, ἀλλ' οὐχ ὡς ἁπτόμενον ἁπτομένου, τοῦτο δὲ γίνεται ὅτι τὸ κινοῦν κινεῖ μὴ ἀντικινούμενον ὡς τὰ οὐράνια σώματα ἅπτεται τῶν τῇδε, ταῦτα δὲ μὴ ἐκείνων. Τρίτον δὲ τὰ κινοῦντα κινεῖ κινούμενα τὰ ὁμογενῆ, ὥστε ἀνάγκη δοκεῖν εἶναι ἁπτομένου ἅπτεσθαι ἀμοιβαδὸν, ἐξ ὧν φανερὸν, ὅτι εἴ τι κινεῖ ἀκίνητον ὂν, καὶ μὴ ἀντιπάσχον ἅπτεται μὲν τοῦ κινητοῦ, τοῦτο δὲ μηδαμῶς ἐκείνου. φαμὲν γὰρ ἐνίοτε τὸν λυποῦντα ἅπτεσθαι ἡμῶν, ἀλλ' οὐκ αὐτοὶ ἐκείνου. εἰ δέ τι κινοῦν ἀντικινεῖται ἐν τούτοις ἐστὶν ἡ λεγομένη κυρίως ἁφὴ, περὶ μὲν οὖν ἁφῆς τῆς ἐν τοῖς Φυσικοῖς διωρίσθω τοῦτον τὸν τρόπον.

## Ἀπορίαι.

Πρῶτον οὖν ἀπορήσειεν αὖ τις πῶς ὁ Φιλόσοφος, εἰ ἔστι τὰ στοιχεῖα ζητῆσαι προτίθεται φανερᾶς οὔσης τῆς τούτων ὑπάρξεως; ἢ ὅτι ἀπορεῖται οὐχ ἁπλῶς εἰ ἔστιν, ἀλλ' εἴτε ἐστὶν, εἴτε μὴ ἐστὶν ἀληθῶς στοιχεῖα. Δεύτερον ἀμφισβητήσεως ἄξιον ὁποία τις ἁφὴ κυριώτερον λέγεται; ἢ ἐν μὲν τοῖς Φυσικοῖς ἐν οἷς ἐστι τὸ ποιεῖν καὶ πάσχειν ταῦτα μᾶλλον ἅπτεσθαι λέγεται ἁπτόμενα, ἁπλῶς δὲ ἐπειδὴ ἡ ἁφὴ ὧν ἐστι

μεγε-

ΙΩΑΝΝΙΝΑ 2006

μεγεθῶν διῃρημένων ἅμα τὰ ἔσχατα εἰς τὸ ποσὸν ὑπάγεται, καὶ τοῖς σώμασιν ἀποδίδοται. Τρίτον ἀπορεῖται, πῶς ἡ ἁφὴ λέγεται εἰς ποίησιν ἀναγκαία ἐπειδὴ ἀδιαίρετος οὖσα οὐκ ἔστι δεκτικὴ πάθους; ἢ ὅτι διὰ τῆς ἁφῆς ἐνεργεῖ τὰ σώματα, καὶ πάσχει ὑπ' ἀλλήλων, οὐ μὴν εἰς ἁφὴν ἐνεργεῖν λέγεται.

## ΚΕΦΑ'ΛΑΙΟΝ, Ε''ΒΔΟΜΟΝ.

### Τί τὸ ποιεῖν καὶ πάσχειν ἐστὶ, καὶ τίσιν ὑπάρχει, καὶ διατὶ, καὶ πῶς.

Μετὰ τὸν περὶ ἁφῆς λόγον περὶ τοῦ ποιεῖν καὶ πάσχειν λεκτέον ἐφεξῆς. πρότερον δὲ τὰς τῶν παλαιοτέρων περὶ τούτων ἐκθώμεθα δόξας, ἃς ἀλλήλαις ὑπεναντίας εὕρομεν ἀμφοτέρας κατά τινα τρόπον ἀληθευούσας, ὥστε μὴ πάμπαν ἐναντίας εἶναι δοκεῖν. οἱ μὲν γὰρ πλεῖστοι ὁμοφρόνως τοῦτο λέγουσιν, ὅτι τὸ ὅμοιον οὐκ ἐνεργεῖ εἰς τὸ ὅμοιον, οὔτε τὸ ὅμοιον ὑπὸ ὁμοίου πάσχει. ἀλλ' ἀεὶ τὸ ἐναντίον εἰς τὸ ἐναντίον ποιεῖν, καὶ πάσχειν ὁμοίως ὑπὸ τοῦ ἐναντίου, εἰ γάρ φασι τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου πάσχει οὐκ ἔστιν ἀποδοῦναι τὴν αἰτίαν, δι' ἣν μᾶλλον ποιητικὸν ἢ παθητικὸν θάτερον θατέρου λέγεται. ὅμοια γὰρ ὄντα ἀμφότερα δράσει καὶ πείσεται, καὶ γὰρ ἀνάγκη πάντα ὁμοίως ὑπάρχειν τὰ αὐτὰ τοῖς ὁμοίοις. καὶ τὴν αὐτὴν δύναμιν ἐν ἀμφοτέροις εἶναι, ὥστε τὰ ἐναντία καὶ τὰ διάφορα ποιεῖν καὶ πάσχειν εἰς ἄλληλα πέφυκεν. εἰ δέ τις φαίη τὸ ἔλαττον πῦρ ὑπὸ τοῦ πλείονος φθείρεται, ταῦτα δὲ ὅμοια, ἄρα πάσχει τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου, οὐκ ὀρθῶς ἐρεῖ. οὐ γὰρ ὡς ὅμοια ταῦτα εἰς ἄλληλα δρᾷ, ἀλλ' ὡς ἐναντία, ἐναντίον γὰρ τὸ πολὺ τῷ ὀλίγῳ, τούτοις δὲ τἀναντία λέγει Δημόκριτος, μόνος δὲ παρὰ τοὺς ἄλλους δόξαν ἔχων ἰδίαν, καὶ τὸ αὐτό φησι καὶ ὅμοιον ἐνεργεῖν εἰς τὸ ὅμοιον καὶ πάσχειν ὑπὸ τοῦ ὁμοίου, οὐ γὰρ δυνατὸν ἐστὶ τὰ ἕτερα καὶ διαφέροντα πάσχειν ὑπ' ἀλλήλων, οἷον γραμμὴ καὶ λευκότης, ἀλλ' εἴποτε τύχοι ἕτερα ὄντα ποιεῖν τι εἰς ἄλληλα, οὐχ ᾗ ἕτερα καὶ διάφορα ποιεῖ καὶ πάσχει, ἀλλ' ᾗ ὅμοια, καὶ ᾗ ταυτόν τι ὑπάρχει, τὸ ποιεῖν καὶ πάσχειν ὑπ' ἀλλήλων αὐτοῖς συμβαίνει. τὰ μὲν οὖν παρὰ τῶν προτέρων λεγόμενα τοιαῦτα ἐστίν. ἐοίκασι δὲ οἱ τοῦτον τὸν τρόπον γίγνεσθαι λέγοντες τὸ ποιεῖν καὶ πάσχειν ὑπεναντία φάσκειν ἀλλήλοις, καὶ γὰρ τῆς ἀντιλογίας ταύτης αἴτιον ὅτι



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε. Ν. Φ. Κ. τ.ΙΙ
ΙΩΑΝΝΙΝΑ 2006

δέον ἐγκρίνειν ἀμφότερα, τὸ ὅλον μὴ θεωρήσαντες, μέρος τι τυγχάνουσι λαβόντες ἀμφότεροι μὴ τὸ μέσον εἰδότες τηρῆσαι, ὅτι τὸ ποιεῖν καὶ πάσχειν ἐν τοῖς ὁμοίοις ἐστὶ, καὶ ἀνομοίοις, ἀλλὰ λέγοντες οἱ μὲν ὅτι τὸ ὅμοιον πᾶν ἀπαθὲς ὑπὸ τοῦ ὁμοίου, οἱ δὲ ὅτι τὸ ἐναντίον ὑπὸ τοῦ ἐναντίου ἀπαθές ἐστι, ταῦτα δὲ ἀμφότερα ἁπλῶς εἰρημένα ψευδῆ φαίνεται· τὸ μὲν γὰρ ὅμοιον καὶ πάντη πάντως ἀδιάφορον καὶ ταὐτὸν οὐ δύναται πάσχειν ὑπὸ τοῦ ὁμοίου. Πρῶτον μὲν οὐκ ἔστιν ἀποδοῦναι ὅτι χάριν τῶν πάντως ἀδιαφόρων μᾶλλον θάτερον ἔσται ποιητικὸν, ἢ θάτερον. ἔτι δὲ εἴπερ πάντως ὑπὸ τοῦ ὁμοίου πάσχει πείσεται καὶ αὐτὸ ὑφ᾽ αὑτοῦ, οἷον εἰ τὸ θερμὸν εἰς τὸ θερμὸν ἐνεργεῖ, καὶ αὐτὸ εἰς ἑαυτὸ δράσει, τούτου δὲ δοθέντος οὐδὲν ἂν εἴη οὔτε ἄφθαρτον, οὔτε ἀκίνητον, καὶ γὰρ εἴπερ τὸ ὅμοιον ᾗ ὅμοιον ποιητικὸν, καὶ αὐτὸ ἑαυτὸ κινήσει πᾶν ὡς ἑαυτῷ ὁμοιώτατον. ὥστε μηδὲν ἀκίνητον εἶναι. ὁμοίως δὲ μάχεται τῇ ἀληθείᾳ τὸ τὰ πάντως ἕτερα καὶ διαφέροντα φάναι πάσχειν ὑπ᾽ ἀλλήλων, καὶ γὰρ οὐδὲ ἡ λευκότης ὑπὸ τῆς γραμμῆς πάσχει, οὐδὲ γραμμὴ ὑπὸ λευκότητος διὰ τὸ μηδαμῶς ταὐτὸν ἐν αὐτοῖς, πλὴν εἰ μήπου κατὰ συμβεβηκός. οἷον εἰ συμβέβηκε λευκὴν ἢ μέλαιναν εἶναι τὴν γραμμὴν, ὥστε μὴ τὴν λευκότητα ὑπὸ γραμμῆς πάσχειν, ἀλλ᾽ ᾗ συμβέβηκε μέλαιναν εἶναι. ἔτι δὲ τὰ πάντως ἕτερα οὐκ εἰσὶν ἐναντία, οὔτε ἐξ ἐναντίων οἷον τὸ μεταξὺ, ἀλλὰ μὴν τὸ ποιεῖν καὶ πάσχειν ἐν τοῖς ἐναντίοις, ἄρα οὔτε ποιεῖ οὔτε πάσχει τὰ πάντως ἕτερα. ὅτι δὲ τὰ πάντως ἕτερα καὶ διάφορα, οὐκ εἰσὶν ἐναντία φανερὸν, ταῦτα γὰρ οὐκ ἐξίστησιν ἄλληλα τῆς φύσεως ὥσπερ τὰ ἐναντία. ἐξ ὧν ἐστὶ φανερὸν, ὅτι ἐπειδὴ οὐ τὸ τυχὸν πέφυκε πάσχειν καὶ ποιεῖν εἰς τὸ τυχὸν, εἴτε πάντως ὅμοιον, εἴτε ἕτερον, ἀλλ᾽ ὅσα ἢ ἐναντία ἐστὶν ὡς τὰ ἐκ διαμέτρου ἀντίθετα, ἢ ἐναντίωσιν ἔχει ὡς τὰ μεταξὺ, ταῦτα δὲ οὔτε πάντως ἕτερα οὔτε ὅμοια, ὡς δέδεικται, ἀνάγκη καὶ τὸ ποιοῦν καὶ τὸ πάσχον πῇ μὲν ὅμοια εἶναι, πῇ δὲ ἀνόμοια, καὶ τῷ μὲν γένει ὅμοια καὶ ταὐτὰ, τῷ δὲ εἴδει ἀνόμοια καὶ ἐναντία, ὡς δι᾽ ἐπαγωγῆς δείκνυται, σῶμα γὰρ ὑπὸ σώματος πάσχει, καὶ χυμὸς ὑπὸ χυμοῦ, καὶ χρῶμα ὑπὸ χρώματος, καὶ ὅλως τὸ ὁμογενὲς ὑπὸ τοῦ ὁμογενοῦς, τούτου δὲ αἴτιον ὅπερ ἀνωτέρω λέλεκται, ὅτι τὰ ἐναντία ποιεῖ καὶ πάσχει ὑπ᾽ ἀλλήλων. τὰ δὲ ἐναντία ἐν τῷ αὐτῷ γένει πάντα εἴδει διαφέροντα, ὥστε ἔοικε πῶς μὲν εἶναι ταὐτὰ τότε ποιοῦν καὶ πάσχον, πῶς δὲ ἕτερα καὶ ἀνόμοια ἀλλήλοις. ἐπειδὴ τοιγαροῦν τὸ πάσχον καὶ τὸ ποιοῦν τῷ μὲν γένει ταὐτὰ καὶ ὅμοια, τῷ δὲ εἴδει ἀνόμοια, τὰ δὲ ἐναντία γένει μὲν ταὐτὰ, εἴδει δὲ ἕτερα, φανερὸν ὅτι τὰ ἐναντία καὶ τὰ μεταξὺ, παθητικὰ καὶ ποιητικὰ ἀλλήλων εἰσὶν, ὅτι καὶ μᾶλλον ἔσται δῆλον, φθορὰ γὰρ καὶ γένεσις ἐν τοῖς ἐναντίοις ἐστὶ, τὸ δὲ ποιεῖν καὶ πάσχειν, ἐν

οἷς

Ε.Υ.Π.Ε.Κ. τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

οἷς φθορὰ καὶ γένεσίς ἐστιν, ἄρα ἐν τοῖς ἐναντίοις ἐστὶ τὸ ποιεῖν καὶ πάσχειν. διὸ καὶ εὔλογον ἤδη φαίνεται ὅτι τὸ ποιοῦν ἑαυτὸ μεταβάλλει τὸ πάσχον. ἀνόμοιον μὲν ὂν κατὰ τὸ εἶδος, ὅμοιον δὲ κατὰ τὸ γένος, ὅθεν καὶ τὸ πῦρ θερμαίνει, καὶ τὸ ψυχρὸν ψύχει. ἐπειδὴ γὰρ ἡ γένεσις ἐστὶν ἐκ τοῦ ἐναντίου εἰς τὸ ἐναντίον, καὶ αὐτὸ τὸ ποιοῦν καὶ τὸ πάσχον ἐναντία ὄντα εἰς ἄλληλα δρᾷ, ἀνάγκη τὸ ποιοῦν εἰς ἑαυτὸ μεταβάλλειν τὸ πάσχον, καὶ ὅμοιον καθιστᾶν κατὰ τὸ εἶδος, οὕτω γὰρ ἔσται εἰς τοὐναντίον ἡ γένεσις μεταβάλλοντος τοῦ πάσχοντος, ὑπὸ τοῦ ποιοῦντος εἰς τοὐναντίον, καὶ κατὰ λόγον δὴ ἀμφότεροι οἱ λέγειν ἐναντία καὶ μὴ ταὐτὰ δόξαντες ὁμοίως ἅπτονται τῆς τῶν πραγμάτων φύσεως, καθάπερ γὰρ κατὰ τὴν κοινὴν τῶν ἀνθρώπων χρῆσιν, ὅτε μὲν λέγομεν ταὐτὸν τἀναντία πάσχει εἰς τὸ ὑποκείμενον ἀφορῶντες. οἷον ὅτε τὸν ἄνθρωπον ὑγιάζεσθαι καὶ κάμνειν φαμὲν, καὶ θερμαίνεσθαι καὶ ψύχεσθαι, καὶ τἄλλα τὸν αὐτὸν τρόπον. κατὰ γὰρ τὸ ὑποκείμενον ταὐτόν ἐστι τὸ θερμαινόμενον καὶ ψυχόμενον, ὅτε δὲ ἐναντία κατὰ τὰ εἴδη, ὡς ὅταν λέγηται, θερμαίνεται μὲν τὸ ψυχρὸν, ὑγιάζεσθαι δὲ τὸ κάμνον, ἀμφότερα οὖν ἐστιν ἀληθῆ, ὁμοίως καὶ ἐπὶ τοῦ ποιοῦντος, ὅτε μὲν γὰρ τὸν ἄνθρωπον φαμὲν θερμαίνειν, ὅτε δὲ τὸ θερμὸν αὐτό. ἐξ ὧν φανερὸν, ὅτι καθ' ἕνα μὲν τρόπον πάσχειν φαμὲν τὴν ὕλην, καθ' ἕνα δὲ τἀναντία, ἐπειδὴ τοίνυν ἡ ὕλη ἡ αὐτή ἐστιν, οἱ εἰς αὐτὴν βλέψαντες ταὐτόν τι δεῖν ᾠήθησαν τὸ ποιοῦν ἔχειν καὶ τὸ πάσχειν. ἐπεὶ δὲ πάλιν τὰ ἐναντία ἀνόμοιά ἐστι καὶ διάφορα, οἱ ἀφορῶντες εἰς αὐτὰ ἕτερα τὸ ποιεῖν καὶ πάσχειν ὁμολόγουν. διασαφηθέντων οὖν τῶν ἐν οἷς ἐστι τὸ ποιοῦν καὶ πάσχον, ζητητέον ὅπως ἔχει ταῦτα πρὸς ἄλληλα, καὶ πότερον πᾶν ἀντιπάσχει τὸ ποιοῦν, ἢ οὔ; ἐπειδὴ δὲ τὸν αὐτὸν λόγον ὑποληπτέον εἶναι περὶ τοῦ ποιεῖν καὶ πάσχειν, ὅν γε περὶ τοῦ κινεῖσθαι καὶ κινεῖν, εἰδέναι δεῖ ὅτι διχῶς λέγεται τὸ κινοῦν, τό, τε γὰρ πρῶτον ἐν ᾧ ἡ ἀρχὴ τῆς κινήσεως δοκεῖ τοῦτο κινεῖν (ἡ γὰρ ἀρχὴ πρώτη τῶν αἰτίων) καὶ πάλιν τὸ ἔσχατον καὶ ἐγγύτατον πρὸς τὸ κινούμενον καὶ τὴν γένεσιν. ὁμοίως δὲ καὶ τὸ ποιοῦν διχῶς λέγεται, τό, τε πρῶτον οἷον ὁ ἰατρὸς, καὶ τὸ προσεχὲς οἷον ὁ οἶνος, ἀμφότερα γὰρ φαμὲν ὑγιάζειν, ὥσπερ οὖν τὸ μὲν πρῶτον κινοῦν οὐδὲν κωλύει ἐν τῇ κινήσει εἶναι ἀκίνητον, μάλιστα δὲ ἐπ' ἐνίων καὶ ἀναγκαῖον, ὡς ἀλλαχοῦ δέδεικται, ἵνα μὴ γίνηται πρόοδος ἐπ' ἄπειρον, τὸ δὲ προσεχὲς καὶ ἔσχατον κινοῦν ἀεὶ κινούμενον ἀνάγκη. ὡσαύτως καὶ ἐπὶ τῶν ποιούντων τὸ μὲν πρῶτον ποιοῦν ἀπαθὲς μένει, τὸ δὲ ἔσχατον καὶ αὐτὸ ἐν τῇ ποιήσει πάσχει, καὶ ὁ λόγος γὰρ ταῦτα πείθει. ἐπειδὴ γὰρ εἴρηται ὅτι τὰ εἰς ἄλληλα δρῶντα καὶ πάσχοντα, ταὐτὰ δεῖ εἶναι τῷ γένει καὶ τῷ ὑποκειμένῳ. φανερὸν ὅτι ὅσα μὴ ἔχει τὴν



ΙΩΑΝΝΙΝΑ 2006

αὐτὴν ὕλην ποιεῖ, ἀπαθῆ ὄντα. οἷον ἡ ἰατρικὴ (καὶ αἱ ἐπιστῆμαι ποιοῦσαι εἰς τοὺς μανθαίοντας πρώτως αὗται ἀκίνητοι μένουσαι) αὕτη γὰρ ποιοῦσα ὑγίειαν οὐδὲν πάσχει ὑπὸ τοῦ ὑγιαζομένου. ὅσα δὲ τὴν αὐτὴν ὕλην ἔχει ἅμα ποιοῦντα πάσχει. οἷον τὸ σιτίον τὸ ποιοῦν καὶ αὐτὸ πάσχει τι, ἢ γὰρ θερμαίνεται ἢ ψύχεται, ἢ ἄλλο τι πάσχει, ἐξ ὧν φανερὸν, ὅτι ἐπειδὴ τὸ πόῤῥω ποιοῦν ὡς ἀρχὴ τῆς κινήσεως ἐστὶ μὴ ἐν τῇ αὐτῇ ὕλῃ ὂν οὐκ ἀντιπάσχει ποιοῦν, τὸ δὲ ἔσχατον καὶ ἁπτόμενον τὴν αὐτὴν ἔχον ὕλην ἅμα πάσχει ποιοῦν. Ἔτι δὲ δῆλον ὅτι ὅσα μὲν μὴ ἐν ὕλῃ ἔχει τὴν μορφὴν, ταῦτα μὲν ἀπαθῆ τῶν ποιητικῶν ἐστι, καὶ οὐκ ἀντιπάσχει δρῶντα. ὅσα δὲ ἐν ὕλῃ παθητικὰ καὶ πάσχει ἅμα ποιοῦντα, μὴ ἐν ὕλῃ δὲ λέγομεν ὁμοίως ὡς εἰπεῖν μὴ ἐν τῇ αὐτῇ εἶναι ὕλῃ, ὀφείλει γὰρ τῶν εἰς ἄλληλα δρώντων τὴν ὕλην εἶναι τὴν αὐτὴν τῶν ἀντικειμένων ὑποτερονοῦν ὥσπερ γένος ὄν, ὥσπερ γὰρ τὸ γένος εἰς [illegible] τῶν διαφορῶν ἀδιάφορόν ἐστιν, οὕτω καὶ τὴν ὕλην ὁτιοῦν τῶν ἐναντίων δεκτικὴν εἶναι δεῖ. ὁμοίως δὲ πάσχειν φαμὲν, οἷον τὸ δυνάμενον θερμὸν εἶναι παρόντος τοῦ θερμαντικοῦ, καὶ πλησιάζοντος, τότε γὰρ ἀνάγκη θερμαίνεσθαι, ἀλλὰ μὴ ἀπωτέρω κείμενα καί τοι τὴν αὐτὴν ὕλην ἔχοντα. διὸ καθάπερ εἴρηται τὰ μὲν τῶν ποιητικῶν ἀπαθῆ, τὰ δὲ παθητικά, καὶ ὥσπερ ἐπὶ κινήσεως τὸν αὐτὸν ἔχει τρόπον καὶ ἐπὶ τῶν ποιητικῶν. ἐκεῖσε γὰρ τὸ πρώτως κινοῦν ἀκίνητον, καὶ ἐπὶ τῶν ποιητικῶν τὸ πρῶτον ποιοῦν ἀπαθές, ποιητικὸν δὲ αἴτιον ἐστὶν ὡς ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, τὸ γὰρ οὗ ἕνεκα οὐκ ἔστι ποιητικὸν, οὐδὲ ἀρχὴ κινήσεως, εἰ μὴ κατὰ μεταφορὰν, ὥσπερ ἡ ὑγιεία, καὶ γὰρ ποιητικόν ἐστιν οὗπερ ὑπάρχοντος γίγνεταί τι τὸ πάσχον, τοῦ δὲ τέλους παρόντος οὐκ ἔτι γίγνεται, ἀλλ' ἔστιν ἤδη, ἕξεις γὰρ τινές εἰσι τὰ εἴδη, καὶ τὰ τέλη, τῶν δὲ ἕξεων παρουσῶν οὐκ ἔτι γίγνεσθαί τι λέγεται, ἀλλ' οὐδὲ ἡ ὕλη ποιητικόν ἐστιν. ἡ γὰρ ὕλη ᾗ ὕλη παθητικὸν καὶ πάθους ἀρχὴ, διάτοι τοῦτο ὅσα ἐν ὕλῃ τὴν μορφὴν ἔχει παθητικά ἐστιν, ὥσπερ τὸ πῦρ ἐν ὕλῃ τὸ θερμὸν ἔχον, εἰ γὰρ εἴη τι χωριστὸν θερμὸν τοῦτο οὐδὲν ἂν πάσχοι, καί τοι τοῦτο μὲν ἴσως ἀδύνατον ἐπὶ τῶν ἐνύλων εἰδῶν, οὐ γὰρ ἐνδέχεται χωριστὰ εἶναι, εἰ δ' ἔστιν ἔνια χωριστὰ εἴδη ἐπ' ἐκείνων ἂν εἴη ἀληθὲς ὅτι ἀπαθῆ ἐστι. τοῦτον οὖν τὸν τρόπον διωρίσθω, ὅτι ποιεῖν ἐστι τὸ εἰς πάθος κινεῖν, πάσχειν δὲ τὸ εἰς πάθος κινεῖσθαι. καὶ ποιοῦν μὲν τὸ ὁμοιοῦν ἑαυτῷ τὸ πάσχον. πάσχον δὲ τὸ ὁμοιούμενον τῷ ποιοῦντι, καὶ ὅτι τὸ ποιεῖν καὶ πάσχειν ἐν τοῖς ἐναντίοις ἐστὶ κατὰ τὸ εἶδος, ὁμοίοις δὲ κατὰ τὸ γένος, καὶ γίγνεται τὸ ποιεῖν καὶ πάσχειν διὰ τὸ ὑποκείμενον δεκτικὸν εἶναι ἀδιαφόρως θατέρου τῶν ἐναντίων. Ἔτι δὲ ὅτι παρόντος τοῦ ποιοῦντος καὶ πλησιάζοντος.

Ἀπο-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε. Σ. Αττης Κ. τ. Π ΙΩΑΝΝΙΝΑ 2006

## Ἀπορίαι.

Εἰκότως ἀπορήσειεν ἄν τις πῶς εἴρηται τὸ ποιοῦν ὅμοιον τῷ κινοῦντι. οὐ γὰρ οὕτως ἔχειν δοκεῖ, ἢ ὅτι πῆ μὲν ὅμοιά εἰσι, πῆ δὲ ἀνόμοια. ὅμοια μὲν ὅτι ὡς τὸ πρῶτον κινοῦν ἀκίνητον, οὕτω τὸ πρῶτον ποιοῦν ἀπαθές. ἀνόμοια δὲ ὅτι τὸ μὲν πρῶτον κινοῦν ἀσώματον, τὸ δὲ πρῶτον ποιοῦν σῶμα.

## Σημειώσεις.

Δεῖ εἰδέναι ὅτι τὰ μεταξὺ ἐναντία ὁ Φιλόσοφος ὁτὲ μὲν ἐναντίωσιν ἔχειν φησὶν, ὁτὲ δὲ ἐκ τῶν ἐναντίων. τὰ δὲ ἄκρα ἁπλῶς ἐναντία. ἔτι δὲ ποιητικὰ καὶ παθητικὰ ὑπ' ἀλλήλων λέγει τὰ τὴν αὐτὴν ἔχοντα ὕλην, οὐ γὰρ ποιοῦσι καὶ πάσχουσιν ἐνεργείᾳ, εἰ μὴ πλησιάσαντα ἀλλήλοις, σώζει τὸ δύνασθαι ποιεῖν καὶ πάσχειν ἀεί. ὡσαύτως τὸ πρώτως κινοῦν μὴ κινεῖσθαι ἀναγκαῖον ἐπ' ἐνίων φάναι τὸν Φιλόσοφον, τὸν νοῦν αἰνιττόμενον ἄϋλον ὄντα καὶ ἀσώματον, καὶ ἀμερῆ καὶ ἀκίνητον.

## ΚΕΦΑΛΑΙΟΝ, ΟΓΔΟΟΝ.

### Οἱ τρόποι καθ' οὓς τὰ μὲν ποιεῖν, τὰ δὲ πάσχειν λέγεται, καὶ αὐτῶν ἔλεγχοι.

Ἤδη δὲ κοινότερον εἴρηται πῶς γίνεται τὸ ποιεῖν καὶ πάσχειν. ἰδιαίτερον οὖν πάλιν λέγομεν κατὰ τίνα τρόπον τοῦτο συμβαίνειν ἐνδέχεται, εἴπωμεν δὲ πρότερον τοὺς τρόπους καθ' οὓς οἱ παλαιότεροι τὸ ποιεῖν καὶ πάσχειν ἐτίθεσαν. τοῖς μὲν οὖν δοκεῖ οἷον Ἐμπεδοκλεῖ τὸ πάσχειν γίνεσθαι διά τινων πόρων εἰσιόντος εἰς τὸ παθητικὸν τοῦ ἐσχάτου καὶ κυριωτάτου ποιοῦντος, τὸ γὰρ ποιοῦν δρᾶν ᾠήθησαν εἰσιὸν εἰς τοὺς πόρους τοῦ σώματος, καὶ τοῦτον τὸν τρόπον τό, τε ὁρᾷν καὶ ἀκούειν, καὶ τὰς ἄλλας αἰσθήσεις αἰσθάνεσθαι πάσας ἔλεγον· οἷον ὁρᾷν μὲν διὰ τοῦ ἀέρος, καὶ ὕδατος, καὶ τῶν διαφανῶν, διότι ἐν τούτοις πόροι εἰσὶν ἀόρατοι μὲν διὰ σμικρότητα, πυκνοὶ δὲ καὶ κατὰ στίχον, δι' ὧν αἱ ὄψεις διιοῦσαι τοῖς ὁρατοῖς προσβάλλουσι, διὸ καὶ καθαρώτερον ὁρῶμεν διὰ τῶν μᾶλλον δια-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006